ὀργάνοις προσάγεται, ἢ φύσιν ἔχει ἄνω φέρεσθαι κοῖλα ὄντα, ἢ πνεύματι ἕλκονται, [ὥσπερ] ἐκ τούτου τοῦ τόπου. Διὸ ἐπιμελοῦνται ὅπως γένηται ξηρὸς οὕτως, ὥσπερ πρὶν τοῦτο συμβαίνειν. (8) Πέφυκε δ' οὕτως ἡ ὁδὸς, δι' ἧς ἔρχεται, ταῖς γυναιξίν. Ἔχουσι καυλὸν, ὥσπερ καὶ οἱ ἄνδρες τὸ αἰδοῖον, ἀλλ' ἐν τῷ σώματι. Ἀποπνέουσιν [οὖν] διὰ τούτου μικρῷ τε πόρῳ [καὶ] ἀνωτέρω [ἢ] ᾗ οὐροῦσιν αἱ γυναῖκες. Διὸ καὶ ὅταν ὀργῶσιν ἀφροδισιασθῆναι, οὗτος ὁ τόπος οὐκ ἔχει ὁμοίως καὶ πρὶν ὀργᾶν. Ἀπὸ δὴ τούτου τοῦ καυλοῦ γίνεται [ἡ] ἔκπτωσις, καὶ τὸ ἔμπροσθεν τῆς ὑστέρας πολλῷ μεῖζον ἢ καθ' ἣν εἰς ἐκεῖνον τὸν τόπον ἐκπίπτει. Ὅμοιον δ' ἐστὶ τοῦτο κατὰ τοῦτο ταῖς ῥισίν· καὶ γὰρ αἱ ῥῖνες ἔχουσιν εἴσω εἰς τὸν φάρυγγα πόρον τινὰ καὶ εἰς τὸν ἔξω ἀέρα· οὕτω κἀκεῖνος καὶ ἔσω ἔχει πόρον μικρόν τε πάνυ καὶ στενὸν, ὅσον πνεύματι ἔξοδον, τὸν δ' εἰς τὸ πρόσθεν τῆς ὑστέρας εὐρύχωρον [καὶ] εὔρουν, ὥσπερ αἱ ῥῖνες τὸν εἰς τὸν ἀέρα μείζω τοῦ εἰς τὸ στόμα καὶ φάρυγγα. Ὁμοίως δὲ καὶ αἱ γυναῖκες μείζω τὸν εἰς τὸ ἔμπροσθεν τῶν ὑστερῶν πόρον ἔχουσι, καὶ εὐρυχωρότερον τοῦ ἔξω. (9) Ὅ τι συμβάλλεται εἰς τοῦτο, [πίστιν] ποιεῖ τῶν αὐτῶν παθημάτων, ὅτι καὶ ἡ γυνὴ γόνιμον προΐεται. Τὰ δ' αὐτὰ αἴτια ταῦτα συμβαίνει· καὶ γὰρ οἷς ἢ νόσου ἢ θανάτου δοκεῖ [ἕτερον πρὸ] ἑτέρου τὸ αἴτιον, θεωροῦσι τὸ τελευταῖον ἐπὶ τὰς ἀρχὰς, ὃ δεῖ ὁρᾶν. Τοῖς μὲν γὰρ ταῦτα αἴτια τὰ πρῶτα, τοῖς δ' οὐδὲν, τῶν δὲ τὰ μὲν, τὰ δ' οὔ. Ἀποδίδωσιν οὖν κατὰ λόγον καὶ τὰ ἀπο-

1. Φύσιν] εἴσφυσιν = Ἄνω φέρεσθαι] ἄνωθεν Bk. — 5-6. Αἰδοῖον. Ἀλλ' ἐν τῷ στόματι ἀποπνέουσι διὰ τοῦτο Bk. — 14. Ἔσω] ἔξω. — 19. Τοῦ ἔξω] τὸ ἔξω. — 24. Τοῖς μὲν] ταῖς μὲν Bk.

26.